28 Ιουνίου 2023

# Ὢ Θεία Ἀγάπη (Ἅγιος Νεκτάριος Ἐπίσκοπος Πενταπόλεως)

Άγιοι - Πατέρες - Γέροντες / Άγ. Νεκτάριος Πενταπόλεως / Λογοτεχνία (ποίηση & πεζογραφία)







Ὢ Θεία Ἀγάπη, ἐλθέ, ἱκετεύω,
ἐξ ὅλης ψυχῆς μου καὶ μέσης καρδίας,
καὶ σκήνωμα θεῖον, Χριστέ, ποίησόν με
καὶ πάσης κηλῖδος, ὤ καθάρισόν με.

Ὢ Θεία Ἀγάπη, ἀγάπης ἐνθέου
τὴν Σὲ ἐκζητοῦσαν ψυχὴν ἔμπλησόν μου
καὶ ἔρωτα θεῖον, Ὢ Θεία Ἀγάπη,
θερμῶς ἱκετεύω, τῷ δούλῳ Σου δός μοι.

Ὢ Θεία Ἀγάπη, τὴν Σὴν ἱκετεύω,
ἀγάπην παράσχου τοῖς Σὲ ἐκζητοῦσι·
Ἡ γὰρ Σὴ ἀγάπη τὸ πλήρωμά ἐστι
τοῦ Θείου Σου Νόμου, Ἀγάπη γλυκεῖα.

Ὢ Θεία Ἀγάπη, ἡ μόνη πληροῦσα
τὸν σύμπαντα κόσμον καὶ ἡ συντηροῦσα,
Σὺ πέλεις ὁ νόμος τῶν ἐπουρανίων,

Σὺ πέλεις ὁ νόμος καὶ τῶν ἐπιγείων.

Ἡ Σὴ Βασιλεία ἐστὶν ἡ ἀγάπη,
ἐν ᾗ βασιλεύει χαρὰ καὶ εἰρήνη,
ἐν ᾗ βασιλεύει ἡ μακαριότης,
ὁ ἔρως τοῦ Θείου καὶ ἡ εὐφροσύνη.
**Πηγή**: agiazoni.gr